# Prüfungstexte zum Griechisch-Intensivkurs (SS 2015)

## *B) NT-Griechisch III*

### ***1.Teil – Neues Testament***

**Markus 2**

1. Die Berufung des Levi

13 Καὶ ἐξῆλθεν πάλιν παρὰ τὴν θάλασσαν· καὶ πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτόν, καὶ ἐδίδασκεν αὐτούς.
14 Καὶ παράγων εἶδεν Λευὶν τὸν τοῦ Ἁλφαίου καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ λέγει αὐτῷ· „Ἀκολούθει
μοι.“ Καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. 15 Καὶ γίνεται κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ
τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ· ἦσαν γὰρ πολλοί. Καὶ
ἠκολούθουν αὐτῷ. 16 Καὶ οἱ γραμματεῖς τῶν Φαρισαίων καὶ ἰδόντες, ὅτι ἐσθίει μετὰ τῶν ἁμαρτωλῶν
καὶ τελωνῶν ἔλεγον τοῖς μαθηταῖς αὐτοῦ· „Ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει;“ 17 Καὶ
ἀκούσας ὁ Ἰησοῦς λέγει αὐτοῖς, ὅτι· „Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ’ οἱ κακῶς ἔχοντες.
Οὐκ ἦλθον καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλούς.“

**Markus 5**

2. Die Heilung des Besessenen von Gerasa

1 Καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης εἰς τὴν χώραν τῶν Γερασηνῶν. 2 Καὶ ἐξελθόντος αὐτοῦ ἐκ τοῦ
πλοίου εὐθὺς ὑπήντησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ, 3 ὃς τὴν κατοίκησιν
εἶχεν ἐν τοῖς μνήμασιν· καὶ οὐδὲ ἁλύσει οὐκέτι οὐδεὶς ἐδύνατο αὐτὸν δῆσαι 4 διὰ τὸ αὐτὸν πολλάκις
πέδαις καὶ ἁλύσεσιν δεδέσθαι καὶ διεσπάσθαι ὑπ’ αὐτοῦ τὰς ἁλύσεις καὶ τὰς πέδας συντετρῖφθαι, καὶ
οὐδεὶς ἴσχυεν αὐτὸν δαμάσαι. 5 Καὶ διὰ παντὸς νυκτὸς καὶ ἡμέρας ἐν τοῖς μνήμασιν καὶ ἐν τοῖς ὄρεσιν
ἦν κράζων καὶ κατακόπτων ἑαυτὸν λίθοις. 6 Καὶ ἰδὼν τὸν Ἰησοῦν ἀπὸ μακρόθεν ἔδραμεν καὶ
προσεκύνησεν αὐτῷ 7 καὶ κράξας φωνῇ μεγάλῃ λέγει· „Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ υἱὲ τοῦ θεοῦ τοῦ
ὑψίστου; Ὁρκίζω σε τὸν θεόν, μή με βασανίσῃς.“ 8 Ἔλεγεν γὰρ αὐτῷ· „Ἔξελθε τὸ πνεῦμα τὸ
ἀκάθαρτον ἐκ τοῦ ἀνθρώπου.“ 9 Καὶ ἐπηρώτα αὐτόν· „Τί ὄνομά σοι;“ Καὶ λέγει αὐτῷ· „Λεγιὼν ὄνομά
μοι, ὅτι πολλοί ἐσμεν.“ 10 Καὶ παρεκάλει αὐτὸν πολλά, ἵνα μὴ αὐτοὺς ἀποστείλῃ ἔξω τῆς χώρας.“

11 Ἦν δὲ ἐκεῖ πρὸς τῷ ὄρει ἀγέλη χοίρων μεγάλη βοσκομένη· 12 Καὶ παρεκάλεσαν αὐτὸν λέγοντες·
„Πέμψον ἡμᾶς εἰς τοὺς χοίρους, ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν.“ 13 Καὶ ἐπέτρεψεν αὐτοῖς. Καὶ ἐξελθόντα
τὰ πνεύματα τὰ ἀκάθαρτα εἰσῆλθον εἰς τοὺς χοίρους, καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν
θάλασσαν, ὡς δισχίλιοι, καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ. 14 Καὶ οἱ βόσκοντες αὐτοὺς ἔφυγον καὶ
ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς,· καὶ ἦλθον ἰδεῖν, τί ἐστιν τὸ γεγονός. 15 Καὶ ἔρχονται
πρὸς τὸν Ἰησοῦν καὶ θεωροῦσιν τὸν δαιμονιζόμενον καθήμενον ἱματισμένον καὶ σωφρονοῦντα τὸν
ἐσχηκότα τὸν λεγιῶνα, καὶ ἐφοβήθησαν. 16 Καὶ διηγήσαντο αὐτοῖς οἱ ἰδόντες, πῶς ἐγένετο τῷ
δαιμονιζομένῳ καὶ περὶ τῶν χοίρων.17 Καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν.

18 Καὶ ἐμβαίνοντος αὐτοῦ εἰς τὸ πλοῖον παρεκάλει αὐτὸν ὁ δαιμονισθείς, ἵνα μετ’ αὐτοῦ ᾖ. 19 Καὶ οὐκ
ἀφῆκεν αὐτόν, ἀλλὰ λέγει αὐτῷ· „Ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς σούς καὶ ἀπάγγειλον αὐτοῖς,
ὅσα ὁ κύριός σοι πεποίηκεν καὶ ἠλέησέν σε.“ 20 Καὶ ἀπῆλθεν καὶ ἤρξατο κηρύσσειν ἐν τῇ Δεκαπόλει,
ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ πάντες ἐθαύμαζον.

3. Die Auferweckung der Tochter des Jaïrus

21 Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ πάλιν εἰς τὸ πέραν συνήχθη ὄχλος πολὺς ἐπ’ αὐτόν, καὶ ἦν παρὰ τὴν
θάλασσαν. 22 Καὶ ἔρχεται εἷς τῶν ἀρχισυναγώγων ὀνόματι Ἰάϊρος καὶ ἰδὼν αὐτὸν πίπτει πρὸς τοὺς
πόδας αὐτοῦ 23 καὶ παρακαλεῖ αὐτὸν πολλὰ λέγων, ὅτι· „Τὸ θυγάτριόν μου ἐσχάτως ἔχει, ἵνα ἐλθὼν
ἐπιθῇς τὰς χεῖρας αὐτῇ, ἵνα σωθῇ καὶ ζήσῃ.“ 24 Καὶ ἀπῆλθεν μετ’ αὐτοῦ.

Καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν. 25 Καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος δώδεκα
ἔτη 26 καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ’ αὐτῆς πάντα καὶ μηδὲν
ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, 27 ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ
ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ· 28 ἔλεγεν γὰρ, ὅτι· „Ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ,
σωθήσομαι.“ 29 Καὶ εὐθὺς ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι, ὅτι ἴαται ἀπὸ τῆς
μάστιγος. 30 Καὶ εὐθὺς ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν ἐπιστραφεὶς ἐν
τῷ ὄχλῳ ἔλεγεν· „Τίς μου ἥψατο τῶν ἱματίων;“ 31 Καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· „Βλέπεις τὸν
ὄχλον συνθλίβοντά σε καὶ λέγεις· « Τίς μου ἥψατο; »“ 32 Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν.
33 Ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα, ὃ γέγονεν αὐτῇ, ἦλθεν καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν
αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. 34 Ὁ δὲ εἶπεν αὐτῇ· „Θυγάτηρ, ἡ πίστις σου σέσωκέν σε· ὕπαγε εἰς εἰρήνην,
καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.“

35 Ἔτι αὐτοῦ λαλοῦντος ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου λέγοντες, ὅτι· „Ἡ θυγάτηρ σου ἀπέθανεν·
τί ἔτι σκύλλεις τὸν διδάσκαλον;“ 36 Ὁ δὲ Ἰησοῦς παρακούσας τὸν λόγον λαλούμενον λέγει τῷ
ἀρχισυναγώγῳ· „Μὴ φοβοῦ, μόνον πίστευε.“ 37 Καὶ οὐκ ἀφῆκεν οὐδένα μετ’ αὐτοῦ συνακολουθῆσαι εἰ
μὴ τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν Ἰακώβου. 38 Καὶ ἔρχονται εἰς τὸν οἶκον τοῦ
ἀρχισυναγώγου, καὶ θεωρεῖ θόρυβον καὶ κλαίοντας καὶ ἀλαλάζοντας πολλά, 39 καὶ εἰσελθὼν λέγει
αὐτοῖς· „Τί θορυβεῖσθε καὶ κλαίετε; Τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει.“ 40 Καὶ κατεγέλων
αὐτοῦ. Αὐτὸς δὲ ἐκβαλὼν πάντας παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου καὶ τὴν μητέρα καὶ τοὺς μετ’
αὐτοῦ καὶ εἰσπορεύεται, ὅπου ἦν τὸ παιδίον. 41 Καὶ κρατήσας τῆς χειρὸς τοῦ παιδίου λέγει αὐτῇ·
„Ταλιθα κουμ“, ὅ ἐστιν μεθερμηνευόμενον· „Τὸ κοράσιον, σοὶ λέγω, ἔγειρε.“ 42 Καὶ εὐθὺς ἀνέστη τὸ
κοράσιον καὶ περιεπάτει, ἦν γὰρ ἐτῶν δώδεκα. Καὶ ἐξέστησαν εὐθὺς ἐκστάσει μεγάλῃ. 43 Καὶ
διεστείλατο αὐτοῖς πολλὰ, ἵνα μηδεὶς γνοῖ τοῦτο, καὶ εἶπεν δοθῆναι αὐτῇ φαγεῖν.

**Markus 6**

4. Der Prophet in seiner Heimat

1 Καὶ ἐξῆλθεν ἐκεῖθεν καὶ ἔρχεται εἰς τὴν πατρίδα αὐτοῦ, καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ.
2 Καὶ γενομένου σαββάτου ἤρξατο διδάσκειν ἐν τῇ συναγωγῇ, καὶ πολλοὶ ἀκούοντες ἐξεπλήσσοντο
λέγοντες· „Πόθεν τούτῳ ταῦτα, καὶ τίς ἡ σοφία ἡ δοθεῖσα τούτῳ, ἵνα καὶ δυνάμεις τοιαῦται διὰ τῶν
χειρῶν αὐτοῦ γίνωνται; 3 Οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ υἱὸς τῆς Μαρίας καὶ ἀδελφὸς Ἰακώβου καὶ
Ἰωσῆτος καὶ Ἰούδα καὶ Σίμωνος; Καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς;“ Καὶ
ἐσκανδαλίζοντο ἐν αὐτῷ. 4 Καὶ ἔλεγεν αὐτοῖς ὁ Ἰησοῦς, ὅτι· „Οὐκ ἔστιν προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ
πατρίδι αὐτοῦ καὶ ἐν τοῖς συγγενεῦσιν αὐτοῦ καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ.“ 5 Καὶ οὐκ ἐδύνατο ἐκεῖ ποιῆσαι
οὐδεμίαν δύναμιν, εἰ μὴ ὀλίγοις ἀρρώστοις ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσεν. 6 Καὶ ἐθαύμαζεν διὰ τὴν
ἀπιστίαν αὐτῶν.

5. Die Aussendung der zwölf Jünger

Καὶ περιῆγεν τὰς κώμας κύκλῳ διδάσκων. 7 Καὶ προσκαλεῖται τοὺς δώδεκα καὶ ἤρξατο αὐτοὺς
ἀποστέλλειν δύο δύο καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων. 8 Καὶ παρήγγειλεν
αὐτοῖς, ἵνα μηδὲν ἄρωσιν εἰς ὁδὸν εἰ μὴ ῥάβδον μόνον, μὴ ἄρτον, μὴ πήραν, μὴ εἰς τὴν ζώνην χαλκόν,

9 ἀλλὰ ὑποδεδεμένους σανδάλια καὶ μὴ ἐνδύσασθαι δύο χιτῶνας. 10 Καὶ ἔλεγεν αὐτοῖς· „Ὅπου ἐὰν
εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένετε, ἕως ἂν ἐξέλθητε ἐκεῖθεν. 11 Καὶ ὃς ἂν τόπος μὴ δέξηται ὑμᾶς μηδὲ
ἀκούσωσιν ὑμῶν, ἐκπορευόμενοι ἐκεῖθεν ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν ὑμῶν εἰς
μαρτύριον αὐτοῖς.“ 12 Καὶ ἐξελθόντες ἐκήρυξαν, ἵνα μετανοῶσιν, 13 καὶ δαιμόνια πολλὰ ἐξέβαλλον, καὶ
ἤλειφον ἐλαίῳ πολλοὺς ἀρρώστους καὶ ἐθεράπευον.

## 6. Herodes’ Urteil über Jesus

14 Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρῴδης, φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ, καὶ ἔλεγον, ὅτι Ἰωάννης ὁ
βαπτίζων ἐγήγερται ἐκ νεκρῶν, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ. 15 Ἄλλοι δὲ ἔλεγον, ὅτι
Ἠλίας ἐστίν· ἄλλοι δὲ ἔλεγον, ὅτι προφήτης ὡς εἷς τῶν προφητῶν. 16 Ἀκούσας δὲ ὁ Ἡρῴδης ἔλεγεν·
„Ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτος ἠγέρθη.“

## 7. Die Enthauptung des Täufers

17 Αὐτὸς γὰρ ὁ Ἡρῴδης ἀποστείλας ἐκράτησεν τὸν Ἰωάννην καὶ ἔδησεν αὐτὸν ἐν φυλακῇ διὰ
Ἡρῳδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν· 18 ἔλεγεν γὰρ ὁ Ἰωάννης
τῷ Ἡρῴδῃ, ὅτι· „Οὐκ ἔξεστίν σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.“ 19 Ἡ δὲ Ἡρῳδιὰς ἐνεῖχεν αὐτῷ
καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ ἠδύνατο. 20 Ὁ γὰρ Ἡρῴδης ἐφοβεῖτο τὸν Ἰωάννην εἰδὼς αὐτὸν
ἄνδρα δίκαιον καὶ ἅγιον, καὶ συνετήρει αὐτόν καὶ ἀκούσας αὐτοῦ πολλὰ ἐποίει, καὶ ἡδέως αὐτοῦ
ἤκουεν. 21 Καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρῴδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίησεν τοῖς
μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας. 22 Καὶ εἰσελθούσης τῆς θυγατρὸς
αὐτοῦ Ἡρῳδιάδος καὶ ὀρχησαμένης ἤρεσεν τῷ Ἡρῴδῃ καὶ τοῖς συνανακειμένοις. Εἶπεν ὁ βασιλεὺς τῷ
κορασίῳ· „Αἴτησόν με, ὃ ἐὰν θέλῃς, καὶ δώσω σοι.“· 23 Καὶ ὤμοσεν αὐτῇ πολλά· „Ὅ τι ἐάν με αἰτήσῃς,
δώσω σοι ἕως ἡμίσους τῆς βασιλείας μου.“ 24 Καὶ ἐξελθοῦσα εἶπεν τῇ μητρὶ αὐτῆς· „Τί αἰτήσωμαι;“ Ἡ
δὲ εἶπεν· „Τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτίζοντος.“ 25 Καὶ εἰσελθοῦσα εὐθὺς μετὰ σπουδῆς πρὸς τὸν
βασιλέα ᾐτήσατο λέγουσα· „Θέλω, ἵνα ἐξαυτῆς δῷς μοι ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ
βαπτιστοῦ.“ 26 Καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς διὰ τοὺς ὅρκους καὶ τοὺς ἀνακειμένους οὐκ
ἠθέλησεν ἀθετῆσαι αὐτήν. 27 Καὶ εὐθὺς ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτορα ἐπέταξεν ἐνέγκαι τὴν
κεφαλὴν αὐτοῦ. Καὶ ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ 28 καὶ ἤνεγκεν τὴν κεφαλὴν αὐτοῦ ἐπὶ
πίνακι καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ, καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. 29 Καὶ
ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ ἦλθον καὶ ἦραν τὸ πτῶμα αὐτοῦ καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ.

## 8. Die Speisung der Fünftausend

30 Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν καὶ ἀπήγγειλαν αὐτῷ πάντα, ὅσα ἐποιήσαν καὶ ὅσα
ἐδίδαξαν. 31 Καὶ λέγει αὐτοῖς· „Δεῦτε ὑμεῖς αὐτοὶ κατ’ ἰδίαν εἰς ἔρημον τόπον καὶ ἀναπαύσασθε
ὀλίγον.“ Ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί καὶ οὐδὲ φαγεῖν εὐκαίρουν. 32 Καὶ ἀπῆλθον
ἐν τῷ πλοίῳ εἰς ἔρημον τόπον κατ’ ἰδίαν. 33 Καὶ εἶδον αὐτοὺς ὑπάγοντας καὶ ἐπέγνωσαν πολλοί καὶ
πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ καὶ προῆλθον αὐτούς. 34 Καὶ ἐξελθὼν εἶδεν πολὺν ὄχλον
καὶ ἐσπλαγχνίσθη ἐπ’ αὐτούς, ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα, καὶ ἤρξατο διδάσκειν αὐτοὺς
πολλά. 35 Καὶ ἤδη ὥρας πολλῆς γενομένης προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἔλεγον, ὅτι· „Ἔρημός
ἐστιν ὁ τόπος, καὶ ἤδη ὥρα πολλή· 36 ἀπόλυσον αὐτούς, ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ
κώμας ἀγοράσωσιν ἑαυτοῖς, τί φάγωσιν.“ 37 Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· „Δότε αὐτοῖς ὑμεῖς φαγεῖν.“
Καὶ λέγουσιν αὐτῷ· „Ἀπελθόντες ἀγοράσωμεν δηναρίων διακοσίων ἄρτους καὶ δώσωμεν αὐτοῖς
φαγεῖν;“ 38 Ὁ δὲ λέγει αὐτοῖς· „Πόσους ἄρτους ἔχετε; Ὑπάγετε, ἴδετε.“ Καὶ γνόντες λέγουσιν· „Πέντε,
καὶ δύο ἰχθύας.“ 39 Καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ.

40 Καὶ ἀνέπεσαν πρασιαὶ πρασιαὶ κατὰ ἑκατὸν καὶ κατὰ πεντήκοντα. 41 Καὶ λαβὼν τοὺς πέντε ἄρτους
καὶ τοὺς δύο ἰχθύας ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν καὶ κατέκλασεν τοὺς ἄρτους καὶ ἐδίδου
τοῖς μαθηταῖς αὐτοῦ, ἵνα παρατιθῶσιν αὐτοῖς, καὶ τοὺς δύο ἰχθύας ἐμέρισεν πᾶσιν. 42 Καὶ ἔφαγον
πάντες καὶ ἐχορτάσθησαν· 43 καὶ ἦραν κλάσματα δώδεκα κοφίνων πληρώματα καὶ ἀπὸ τῶν ἰχθύων.
44 Καὶ ἦσαν οἱ φαγόντες τοὺς ἄρτους πεντακισχίλιοι ἄνδρες.

9. <u>Jesus' Gang über dem Wasser</u>

45 Καὶ εὐθὺς ἠνάγκασεν τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν εἰς τὸ πέραν πρὸς
Βηθσαϊδάν, ἕως αὐτὸς ἀπολύει τὸν ὄχλον. 46 Καὶ ἀποταξάμενος αὐτοῖς ἀπῆλθεν εἰς τὸ ὄρος
προσεύξασθαι. 47 Καὶ ὀψίας γενομένης ἦν τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης, καὶ αὐτὸς μόνος ἐπὶ τῆς
γῆς. 48 Καὶ ἰδὼν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν – ἦν γὰρ ὁ ἄνεμος ἐναντίος αὐτοῖς – περὶ
τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρχεται πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης· καὶ ἤθελεν παρελθεῖν
αὐτούς. 49 Οἱ δὲ ἰδόντες αὐτὸν ἐπὶ τῆς θαλάσσης περιπατοῦντα ἔδοξαν, ὅτι φάντασμά ἐστιν, καὶ
ἀνέκραξαν· 50 πάντες γὰρ αὐτὸν εἶδον καὶ ἐταράχθησαν. Ὁ δὲ εὐθὺς ἐλάλησεν μετ' αὐτῶν καὶ λέγει
αὐτοῖς· „Θαρσεῖτε, ἐγώ εἰμι· μὴ φοβεῖσθε." 51 Καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον, καὶ ἐκόπασεν ὁ
ἄνεμος. Καὶ λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο, 52 οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις, ἀλλ' ἦν αὐτῶν
ἡ καρδία πεπωρωμένη.

10. <u>Krankenheilungen in Gennesaret</u>

53 Καὶ διαπεράσαντες ἐπὶ τὴν γῆν ἦλθον εἰς Γεννησαρὲτ καὶ προσωρμίσθησαν. 54 Καὶ ἐξελθόντων
αὐτῶν ἐκ τοῦ πλοίου εὐθὺς ἐπιγνόντες αὐτὸν 55 περιέδραμον ὅλην τὴν χώραν ἐκείνην καὶ ἤρξαντο ἐπὶ
τοῖς κραβάττοις τοὺς κακῶς ἔχοντας περιφέρειν, ὅπου ἤκουον, ὅτι ἐστίν. 56 Καὶ ὅπου ἂν εἰσεπορεύετο
εἰς κώμας ἢ εἰς πόλεις ἢ εἰς ἀγροὺς ἐν ταῖς ἀγοραῖς, ἐτίθεσαν τοὺς ἀσθενοῦντας καὶ παρεκάλουν
αὐτὸν, ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται· καὶ ὅσοι ἂν ἥψαντο αὐτοῦ, ἐσῴζοντο.

**Markus 8**

11. <u>Die Speisung der Viertausend</u>

1 Ἐν ἐκείναις ταῖς ἡμέραις πάλιν πολλοῦ ὄχλου ὄντος καὶ μὴ ἐχόντων, τί φάγωσιν, προσκαλεσάμενος
τοὺς μαθητὰς λέγει αὐτοῖς· 2 „Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέραι τρεῖς προσμένουσίν μοι
καὶ οὐκ ἔχουσιν, τί φάγωσιν· 3 καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται ἐν τῇ
ὁδῷ. Καί τινες αὐτῶν ἀπὸ μακρόθεν ἥκασιν." 4 Καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, ὅτι· „Πόθεν
τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ' ἐρημίας;" 5 Καὶ ἠρώτα αὐτούς· „Πόσους ἔχετε
ἄρτους;" Οἱ δὲ εἶπαν· „Ἑπτά." 6 Καὶ παραγγέλλει τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς. Καὶ λαβὼν τοὺς
ἑπτὰ ἄρτους εὐχαριστήσας ἔκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ, ἵνα παρατιθῶσιν καὶ παρέθηκαν
τῷ ὄχλῳ. 7 Καὶ εἶχον ἰχθύδια ὀλίγα. Καὶ εὐλογήσας αὐτὰ εἶπεν καὶ ταῦτα παρατιθέναι. 8 Καὶ ἔφαγον
καὶ ἐχορτάσθησαν καὶ ἦραν περισσεύματα κλασμάτων ἑπτὰ σπυρίδας. 9 Ἦσαν δὲ ὡς τετρακισχίλιοι.
Καὶ ἀπέλυσεν αὐτούς.

10 Καὶ εὐθὺς ἐμβὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά. 11 Καὶ
ἐξῆλθον οἱ Φαρισαῖοι καὶ ἤρξαντο συζητεῖν αὐτῷ ζητοῦντες παρ' αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ
πειράζοντες αὐτόν. 12 Καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ λέγει· „Τί ἡ γενεὰ αὕτη ζητεῖ σημεῖον;
Ἀμήν, λέγω ὑμῖν· εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον." 13 Καὶ ἀφεὶς αὐτοὺς πάλιν ἐμβὰς ἀπῆλθεν εἰς
τὸ πέραν.

**Johannes 3**

<u>12. Das Gespräch mit Nikodemus</u>

1 Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων· 2 οὗτος ἦλθεν
πρὸς αὐτὸν νυκτὸς καὶ εἶπεν αὐτῷ· „Ῥαββί, οἴδαμεν, ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ
δύναται ταῦτα τὰ σημεῖα ποιεῖν, ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ' αὐτοῦ.“ 3 Ἀπεκρίθη Ἰησοῦς καὶ
εἶπεν αὐτῷ· „Ἀμήν, ἀμήν, λέγω σοι· ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ
θεοῦ.“ 4 Λέγει πρὸς αὐτὸν ὁ Νικόδημος· „Πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; Μὴ δύναται
εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ γεννηθῆναι;“ 5 Ἀπεκρίθη Ἰησοῦς· „Ἀμήν,
ἀμήν, λέγω σοι· ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν
τοῦ θεοῦ.

**Apokalypse 18**

<u>13. Die Ankündigung vom Sturz Babylons</u>

1 Μετὰ ταῦτα εἶδον ἄλλον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα ἐξουσίαν μεγάλην, καὶ ἡ γῆ
ἐφωτίσθη ἐκ τῆς δόξης αὐτοῦ. 2 καὶ ἔκραξεν ἐν ἰσχυρᾷ φωνῇ λέγων·

„Ἔπεσεν, ἔπεσεν Βαβυλὼν ἡ μεγάλη,
καὶ ἐγένετο κατοικητήριον δαιμονίων
καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου
καὶ φυλακὴ παντὸς ὀρνέου ἀκαθάρτου καὶ μεμισημένου,
3 ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πεπότικεν πάντα τὰ ἔθνη,
καὶ οἱ βασιλεῖς τῆς γῆς μετ' αὐτῆς ἐπόρνευσαν,
καὶ οἱ ἔμποροι τῆς γῆς ἐκ τῆς δυνάμεως τοῦ στρήνους αὐτῆς ἐπλούτησαν.“

4 Καὶ ἤκουσα ἄλλην φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν·

„Ἐξέλθατε, ὁ λαός μου, ἐξ αὐτῆς,
ἵνα μὴ συγκοινωνήσητε ταῖς ἁμαρτίαις αὐτῆς,
καὶ ἐκ τῶν πληγῶν αὐτῆς, ἵνα μὴ λάβητε,
5 ὅτι ἐκολλήθησαν αὐτῆς αἱ ἁμαρτίαι ἄχρι τοῦ οὐρανοῦ,
καὶ ἐμνημόνευσεν ὁ θεὸς τὰ ἀδικήματα αὐτῆς.
6 Ἀπόδοτε αὐτῇ, ὡς καὶ αὐτὴ ἀπέδωκεν,
καὶ διπλώσατε τὰ διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς
ἐν τῷ ποτηρίῳ, ᾧ ἐκέρασεν κεράσατε αὐτῇ διπλοῦν·
7 ὅσα ἐδόξασεν αὐτὴν καὶ ἐστρηνίασεν,
τοσοῦτον δότε αὐτῇ βασανισμὸν καὶ πένθος,
ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς λέγει, ὅτι·
« Κάθημαι βασίλισσα, καὶ χήρα οὐκ εἰμί, καὶ πένθος οὐ μὴ ἴδω. »
8 Διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ αὐτῆς,
θάνατος καὶ πένθος καὶ λιμός, καὶ ἐν πυρὶ κατακαυθήσεται,
ὅτι ἰσχυρὸς κύριος ὁ θεὸς ὁ κρίνας αὐτήν.

<u>14. Klage über Babylon</u>

9 Καὶ κλαύσουσιν καὶ κόψονται ἐπ' αὐτὴν οἱ βασιλεῖς τῆς γῆς οἱ μετ' αὐτῆς πορνεύσαντες καὶ
στρηνιάσαντες, ὅταν βλέπωσιν τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, 10 ἀπὸ μακρόθεν ἑστηκότες διὰ τὸν
φόβον τοῦ βασανισμοῦ αὐτῆς, λέγοντες·

„Οὐαὶ οὐαί, ἡ πόλις ἡ μεγάλη,
Βαβυλὼν ἡ πόλις ἡ ἰσχυρά,
ὅτι μιᾷ ὥρᾳ ἦλθεν ἡ κρίσις σου.

11 Καὶ οἱ ἔμποροι τῆς γῆς κλαίουσιν καὶ πενθοῦσιν ἐπ’ αὐτήν, ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράζει
οὐκέτι. 17 Καὶ πᾶς κυβερνήτης καὶ πᾶς ὁ ἐπὶ τόπον πλέων καὶ ναῦται καὶ ὅσοι τὴν θάλασσαν
ἐργάζονται, ἀπὸ μακρόθεν ἔστησαν 18 καὶ ἔκραζον βλέποντες τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς
λέγοντες· „Τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ;“ 19 Καὶ ἔβαλον χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν καὶ ἔκραζον
κλαίοντες καὶ πενθοῦντες, λέγοντες·

„Οὐαὶ οὐαί, ἡ πόλις ἡ μεγάλη,
ἐν ᾗ ἐπλούτησαν πάντες οἱ ἔχοντες τὰ πλοῖα ἐν τῇ θαλάσσῃ
ἐκ τῆς τιμιότητος αὐτῆς,
ὅτι μιᾷ ὥρᾳ ἠρημώθη.
20 Εὐφραίνου ἐπ’ αὐτῇ, οὐρανέ,
καὶ οἱ ἅγιοι καὶ οἱ ἀπόστολοι καὶ οἱ προφῆται,
ὅτι ἔκρινεν ὁ θεὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς.“

21 Καὶ ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον ὡς μύλινον μέγαν καὶ ἔβαλεν εἰς τὴν θάλασσαν λέγων·

„Οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ μεγάλη πόλις,
καὶ οὐ μὴ εὑρεθῇ ἔτι.
22 Καὶ φωνὴ κιθαρῳδῶν καὶ μουσικῶν
καὶ αὐλητῶν καὶ σαλπιστῶν οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι,
καὶ πᾶς τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι,
καὶ φωνὴ μύλου οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι,
23 καὶ φῶς λύχνου οὐ μὴ φάνη ἐν σοὶ ἔτι,
καὶ φωνὴ νυμφίου καὶ νύμφης οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι,
ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς,
ὅτι ἐν τῇ φαρμακείᾳ σου ἐπλανήθησαν πάντα τὰ ἔθνη,
24 καὶ ἐν αὐτῇ αἷμα προφητῶν καὶ ἁγίων εὑρέθη
καὶ πάντων τῶν ἐσφαγμένων ἐπὶ τῆς γῆς.“

## Apokalypse 21

<u>15. Die neue Welt Gottes</u>

1 Καὶ εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινήν· ὁ γὰρ πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ ἀπῆλθαν, καὶ ἡ
θάλασσα οὐκ ἔστιν ἔτι. 2 Καὶ τὴν πόλιν τὴν ἁγίαν Ἰερουσαλὴμ καινὴν εἶδον καταβαίνουσαν ἐκ τοῦ
οὐρανοῦ ἀπὸ τοῦ θεοῦ, ἡτοιμασμένην ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς. 3 Καὶ ἤκουσα φωνῆς
μεγάλης ἐκ τοῦ θρόνου λεγούσης· „Ἰδοὺ ἡ σκηνὴ τοῦ θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκηνώσει μετ’
αὐτῶν, καὶ αὐτοὶ λαοὶ αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ θεὸς μετ’ αὐτῶν ἔσται, αὐτῶν θεός, 4 καὶ ἐξαλείψει
πᾶν δάκρυον ἐκ τῶν ὀφθαλμῶν αὐτῶν, καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι, οὔτε πένθος οὔτε κραυγὴ οὔτε
πόνος οὐκ ἔσται ἔτι· ὅτι τὰ πρῶτα ἀπῆλθαν.“

5 Καὶ εἶπεν ὁ καθήμενος ἐπὶ τῷ θρόνῳ· „Ἰδοὺ καινὰ ποιῶ πάντα.“ Καὶ λέγει· „Γράψον, ὅτι οὗτοι οἱ
λόγοι πιστοὶ καὶ ἀληθινοί εἰσιν.“ 6 Καὶ εἶπέν μοι· „Γέγοναν. Ἐγώ εἰμι τὸ Ἄλφα καὶ τὸ Ὦ, ἡ ἀρχὴ καὶ
τὸ τέλος. Ἐγὼ τῷ διψῶντι δώσω ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς δωρεάν. 7 Ὁ νικῶν κληρονομήσει
ταῦτα, καὶ ἔσομαι αὐτῷ θεὸς καὶ αὐτὸς ἔσται μοι υἱός. 8 Τοῖς δὲ δειλοῖς καὶ ἀπίστοις καὶ ἐβδελυγμένοις

καὶ φονεῦσιν καὶ πόρνοις καὶ φαρμάκοις καὶ εἰδωλολάτραις καὶ πᾶσιν τοῖς ψευδέσιν τὸ μέρος αὐτῶν ἐν τῇ λίμνῃ τῇ καιομένῃ πυρὶ καὶ θείῳ, ὅ ἐστιν ὁ θάνατος ὁ δεύτερος.“

16. Das neue Jerusalem

[9] Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας τῶν γεμόντων τῶν ἑπτὰ πληγῶν
τῶν ἐσχάτων, καὶ ἐλάλησεν μετ’ ἐμοῦ λέγων· „Δεῦρο, δείξω σοι τὴν νύμφην τὴν γυναῖκα τοῦ ἀρνίου.“
[10] Καὶ ἀπήνεγκέν με ἐν πνεύματι ἐπὶ ὄρος μέγα καὶ ὑψηλόν καὶ ἔδειξέν μοι τὴν πόλιν τὴν ἁγίαν
Ἰερουσαλὴμ καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ, [11] ἔχουσαν τὴν δόξαν τοῦ θεοῦ· ὁ φωστὴρ
αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ ἰάσπιδι κρυσταλλίζοντι· [12] ἔχουσα τεῖχος μέγα καὶ ὑψηλόν,
ἔχουσα πυλῶνας δώδεκα, καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα, καὶ ὀνόματα ἐπιγεγραμμένα, ἅ ἐστιν
τῶν δώδεκα φυλῶν υἱῶν Ἰσραήλ· [13] ἀπὸ ἀνατολῆς πυλῶνες τρεῖς, καὶ ἀπὸ βορρᾶ πυλῶνες τρεῖς, καὶ
ἀπὸ νότου πυλῶνες τρεῖς, καὶ ἀπὸ δυσμῶν πυλῶνες τρεῖς. [14] Καὶ τὸ τεῖχος τῆς πόλεως ἔχων θεμελίους
δώδεκα, καὶ ἐπ’ αὐτῶν δώδεκα ὀνόματα τῶν δώδεκα ἀποστόλων τοῦ ἀρνίου.

[22] Καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ, ὁ γὰρ κύριος ὁ θεὸς ὁ παντοκράτωρ ναὸς αὐτῆς ἐστιν, καὶ τὸ ἀρνίον.
[23] Καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν αὐτῇ, ἡ γὰρ δόξα τοῦ θεοῦ
ἐφώτισεν αὐτήν, καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον. [24] Καὶ περιπατήσουσιν τὰ ἔθνη διὰ τοῦ φωτὸς αὐτῆς·
καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσιν τὴν δόξαν αὐτῶν εἰς αὐτήν. [25] Καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν
ἡμέρας, νὺξ γὰρ οὐκ ἔσται ἐκεῖ· [26] καὶ οἴσουσιν τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν εἰς αὐτήν. [27] Καὶ οὐ
μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινὸν καὶ ποιῶν βδέλυγμα καὶ ψεῦδος, εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς
ζωῆς τοῦ ἀρνίου.

**Apokalypse 22**

[1] Καὶ ἔδειξέν μοι ποταμὸν ὕδατος ζωῆς λαμπρὸν ὡς κρύσταλλον ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ
θεοῦ καὶ τοῦ ἀρνίου. [2] Ἐν μέσῳ τῆς πλατείας αὐτῆς καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐκεῖθεν ξύλον ζωῆς
ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα ἕκαστον ἀποδιδοῦν τὸν καρπὸν αὐτοῦ καὶ τὰ φύλλα τοῦ ξύλου εἰς
θεραπείαν τῶν ἐθνῶν. [3] Καὶ πᾶν κατάθεμα οὐκ ἔσται ἔτι. Καὶ ὁ θρόνος τοῦ θεοῦ καὶ τοῦ ἀρνίου ἐν
αὐτῇ ἔσται, καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν αὐτῷ [4] καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ, καὶ τὸ ὄνομα
αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν. [5] Καὶ νὺξ οὐκ ἔσται ἔτι, καὶ οὐκ ἔχουσιν χρείαν φωτὸς λύχνου καὶ φῶς
ἡλίου, ὅτι κύριος ὁ θεὸς φωτίσει ἐπ’ αὐτούς, καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[6] Καὶ εἶπέν μοι· „Οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί, καὶ ὁ κύριος, ὁ θεὸς τῶν πνευμάτων τῶν
προφητῶν, ἀπέστειλεν τὸν ἄγγελον αὐτοῦ δεῖξαι τοῖς δούλοις αὐτοῦ, ἃ δεῖ γενέσθαι ἐν τάχει. [7] Καὶ
ἰδού, ἔρχομαι ταχύ. Μακάριος ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου.“ [8] Κἀγὼ
Ἰωάννης ὁ ἀκούων καὶ βλέπων ταῦτα καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα, ἔπεσα προσκυνῆσαι ἔμπροσθεν τῶν
ποδῶν τοῦ ἀγγέλου τοῦ δεικνύοντός μοι ταῦτα. [9] Καὶ λέγει μοι· „Ὅρα, μή· σύνδουλός σού εἰμι καὶ τῶν
ἀδελφῶν σου τῶν προφητῶν καὶ τῶν τηρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου· τῷ θεῷ
προσκύνησον.“ [10] Καὶ λέγει μοι· „Μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου, ὁ
καιρὸς γὰρ ἐγγύς ἐστιν. [11] Ὁ ἀδικῶν ἀδικησάτω ἔτι, καὶ ὁ ῥυπαρὸς ῥυπανθήτω ἔτι, καὶ ὁ δίκαιος
δικαιοσύνην ποιησάτω ἔτι, καὶ ὁ ἅγιος ἁγιασθήτω ἔτι. [12] Ἰδοὺ ἔρχομαι ταχύ, καὶ ὁ μισθός μου μετ’
ἐμοῦ, ἀποδοῦναι ἑκάστῳ, ὡς τὸ ἔργον ἐστὶν αὐτοῦ. [13] Ἐγὼ τὸ Ἄλφα καὶ τὸ Ὦ, ὁ πρῶτος καὶ ὁ
ἔσχατος, ἡ ἀρχὴ καὶ τὸ τέλος. [14] Μακάριοι οἱ πλύνοντες τὰς στολὰς αὐτῶν, ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν
ἐπὶ τὸ ξύλον τῆς ζωῆς καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν. [15] Ἔξω οἱ κύνες καὶ οἱ φάρμακοι καὶ
οἱ πόρνοι καὶ οἱ φονεῖς καὶ οἱ εἰδωλολάτραι καὶ πᾶς φιλῶν καὶ ποιῶν ψεῦδος. [16] Ἐγὼ Ἰησοῦς ἔπεμψα
τὸν ἄγγελόν μου μαρτυρῆσαι ὑμῖν ταῦτα ἐπὶ ταῖς ἐκκλησίαις. Ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος Δαυίδ, ὁ

ἀστὴρ ὁ λαμπρὸς ὁ πρωϊνός.“ [17] Καὶ τὸ πνεῦμα καὶ ἡ νύμφη λέγουσιν· „Ἔρχου. Καὶ ὁ ἀκούων εἰπάτω· « Ἔρχου. » Καὶ ὁ διψῶν ἐρχέσθω, ὁ θέλων λαβέτω ὕδωρ ζωῆς δωρεάν.“

[18] Μαρτυρῶ ἐγὼ παντὶ τῷ ἀκούοντι τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· ἐάν τις ἐπιθῇ ἐπ’ αὐτά, ἐπιθήσει ἐπ’ αὐτὸν ὁ θεὸς τὰς πληγὰς τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τούτῳ. [19] Καὶ ἐάν τις ἀφέλῃ ἀπὸ τῶν λόγων τοῦ βιβλίου τῆς προφητείας ταύτης, ἀφελεῖ ὁ θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ ἐκ τῆς πόλεως τῆς ἁγίας, τῶν γεγραμμένων ἐν τῷ βιβλίῳ τούτῳ. [20] Λέγει ὁ μαρτυρῶν ταῦτα· „Ναί, ἔρχομαι ταχύ. Ἀμήν, ἔρχου, κύριε Ἰησοῦ.“

[21] Ἡ χάρις τοῦ κυρίου Ἰησοῦ μετὰ πάντων.

# Prüfungstexte zum Griechisch-Intensivkurs (SS 2015)

## *B) NT-Griechisch III*

***2.Teil – Altes Testament***

### (3) Daniel in der Löwengrube

*(Dan 6, 4-5;14-29)*

**4** Καὶ Δανιὴλ ἦν ἐνδεδυμένος πορφύραν καὶ μέγας καὶ ἔνδοξος ἔναντι Δαρείου τοῦ βασιλέως, κάθοτι
ἦν ἐπιστήμων καὶ συνετός, καὶ πνεῦμα ἅγιον ἐν αὐτῷ. **5** Καὶ οἱ τακτικοὶ καὶ οἱ σατράπαι ἐζήτουν
πρόφασιν εὑρεῖν κατὰ Δανιὴλ.[...] **14** Καὶ εἶπαν· „Ἰδοὺ· εὕρομεν Δανιὴλ τὸν φίλον σου εὐχόμενον καὶ
δεόμενον τοῦ προσώπου τοῦ θεοῦ αὐτοῦ τρίς τῆς ἡμέρας.“ **15** Καὶ λυπούμενος ὁ βασιλεὺς εἶπεν
ῥιφῆναι τὸν Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων κατὰ τὸν ὁρισμόν, ὃν ἔστησε κατ’ αὐτοῦ. Τότε ὁ
βασιλεὺς σφόδρα ἐλυπήθη ἐπὶ τῷ Δανιὴλ καὶ ἐβοήθει[7] τοῦ ἐξελέσθαι αὐτὸν ἕως δυσμῶν ἡλίου ἀπὸ
τῶν χειρῶν τῶν σατραπῶν. **16** Καὶ οὐκ ἠδύνατο ἐξελέσθαι αὐτὸν ἀπ’ αὐτῶν.
**17** Ἀναβοήσας δὲ Δαρεῖος ὁ βασιλεὺς εἶπε τῷ Δανιὴλ· „Ὁ θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς τρὶς
τῆς ἡμέρας, αὐτὸς ἐξελεῖταί σε ἐκ χειρὸς τῶν λεόντων, ἕως πρωὶ θάρρει.“ **18** Τότε Δανιὴλ ἐρρίφη εἰς
τὸν λάκκον τῶν λεόντων καὶ ἠνέχθη λίθος καὶ ἐτέθη εἰς τὸ στόμα τοῦ λάκκου καὶ ἐσφραγίσατο ὁ
βασιλεὺς ἐν τῷ δακτυλίῳ ἑαυτοῦ καὶ ἐν τοῖς δακτυλίοις τῶν μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀπ’ αὐτῶν
ἀρθῇ ὁ Δανιὴλ ἢ ὁ βασιλεὺς αὐτὸν ἀνασπάσῃ ἐκ τοῦ λάκκου.
**19** Τότε ὑπέστρεψεν ὁ βασιλεὺς εἰς τὰ βασίλεια αὐτοῦ καὶ ηὐλίσθη νῆστις καὶ ἦν λυπούμενος περὶ τοῦ
Δανιήλ. Τότε ὁ θεὸς τοῦ Δανιὴλ πρόνοιαν ποιούμενος αὐτοῦ ἀπέκλεισε τὰ στόματα τῶν λεόντων καὶ
οὐ παρηνώχλησαν τῷ Δανιήλ.
**20** Καὶ ὁ βασιλεὺς Δαρεῖος ὤρθρισε πρωὶ καὶ παρέλαβε μεθ’ ἑαυτοῦ τοὺς σατράπας καὶ πορευθεὶς
ἔστη ἐπὶ τοῦ στόματος τοῦ λάκκου τῶν λεόντων.
**21** Τότε ὁ βασιλεὺς ἐκάλεσε τὸν Δανιὴλ φωνῇ μεγάλῃ μετὰ κλαυθμοῦ λέγων· „Ὦ Δανιήλ, εἰ ἄρα ζῇς
καὶ ὁ θεός σου, ᾧ λατρεύεις ἐνδελεχῶς, σέσωκέ σε ἀπὸ τῶν λεόντων καὶ οὐκ ἠχρείωκάν σε;“ **22** Τότε
Δανιὴλ ἐπήκουσε φωνῇ μεγάλῃ καὶ εἶπεν· „Βασιλεῦ, ἔτι εἰμὶ ζῶν. **23** Καὶ σέσωκέ με ὁ θεὸς ἀπὸ τῶν
λεόντων, καθότι δικαιοσύνη ἐν ἐμοὶ εὑρέθη ἐναντίον αὐτοῦ καὶ ἐναντίον δὲ σοῦ, βασιλεῦ, οὔτε ἄγνοια
οὔτε ἁμαρτία εὑρέθη ἐν ἐμοί. Σὺ δὲ ἤκουσας ἀνθρώπων πλανώντων βασιλεῖς καὶ ἔρριψάς με εἰς τὸν
λάκκον τῶν λεόντων εἰς ἀπώλειαν.“
**24** Τότε συνήχθησαν πᾶσαι αἱ δυνάμεις καὶ εἶδον τὸν Δανιὴλ, ὡς οὐ παρηνώχλησαν αὐτῷ οἱ λέοντες.
**25** Τότε οἱ δύο ἄνθρωποι ἐκεῖνοι οἱ καταμαρτυρήσαντες τοῦ Δανιὴλ αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν καὶ
τὰ τέκνα αὐτῶν ἐρρίφησαν τοῖς λέουσι καὶ οἱ λέοντες ἀπέκτειναν αὐτοὺς καὶ ἔθλασαν τὰ ὀστᾶ αὐτῶν.
**26** Τότε Δαρεῖος ἔγραψε πᾶσι τοῖς ἔθνεσι καὶ χώραις καὶ γλώσσαις τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ αὐτοῦ
λέγων· **27** „Πάντες οἱ ἄνθρωποι οἱ ὄντες ἐν τῇ βασιλείᾳ μου ἔστωσαν προσκυνοῦντες καὶ λατρεύοντες
τῷ θεῷ τοῦ Δανιὴλ. Αὐτὸς γάρ ἐστι θεὸς μένων καὶ ζῶν εἰς γενεὰς γενεῶν ἕως τοῦ αἰῶνος. **28** Ἐγὼ
Δαρεῖος ἔσομαι αὐτῷ προσκυνῶν καὶ δουλεύων πάσας τὰς ἡμέρας μου. Τὰ γὰρ εἴδωλα τὰ
χειροποίητα οὐ δύνανται σῶσαι, ὡς ἐλυτρώσατο ὁ θεὸς τοῦ Δανιὴλ τὸν Δανιήλ.“
**29** Καὶ ὁ βασιλεὺς Δαρεῖος προσετέθη πρὸς τὸ γένος αὐτοῦ καὶ Δανιὴλ κατεστάθη ἐπὶ τῆς βασιλείας
Δαρείου καὶ Κῦρος ὁ Πέρσης παρέλαβε τὴν βασιλείαν αὐτοῦ.

# (4) Judith und Holophernes
*(Jud 13, 1-16)*

1 Ὡς δὲ ὀψία ἐγένετο, ἐσπούδασαν οἱ δοῦλοι αὐτοῦ ἀναλύειν καὶ Βαγώας συνέκλεισεν τὴν σκηνὴν
ἔξωθεν καὶ ἀπέκλεισεν τοὺς παρεστῶτας ἐκ προσώπου τοῦ κυρίου αὐτοῦ καὶ ἀπῴχοντο εἰς τὰς
κοίτας[4] αὐτῶν· ἦσαν γὰρ πάντες κεκοπωμένοι διὰ τὸ ἐπὶ πλεῖον γεγονέναι τὸν πότον.
2 Ὑπελείφθη δὲ Ἰουδὶθ μόνη ἐν τῇ σκηνῇ καὶ Ὀλοφέρνης προπεπτωκὼς ἐπὶ τὴν κλίνην αὐτοῦ· ἦν γὰρ
περικεχυμένος αὐτῷ ὁ οἶνος. 3 Καὶ εἶπεν Ἰουδὶθ τῇ δούλῃ αὐτῆς στῆναι ἔξω τοῦ κοιτῶνος αὐτῆς καὶ
ἐπιτηρεῖν τὴν ἔξοδον αὐτῆς, καθάπερ καθ’ ἡμέραν· ἐξελεύσεσθαι γὰρ ἔφη ἐπὶ τὴν προσευχὴν αὐτῆς
καὶ τῷ Βαγώᾳ ἐλάλησεν κατὰ τὰ ῥήματα ταῦτα. 4 Καὶ ἀπήλθοσαν πάντες ἐκ προσώπου καὶ οὐδεὶς
κατελείφθη ἐν τῷ κοιτῶνι ἀπὸ μικροῦ ἕως μεγάλου καὶ στᾶσα Ἰουδὶθ παρὰ τὴν κλίνην αὐτοῦ εἶπεν ἐν
τῇ καρδίᾳ αὐτῆς· „Κύριε, ὁ θεὸς πάσης δυνάμεως, ἐπίβλεψον ἐν τῇ ὥρᾳ ταύτῃ ἐπὶ τὰ ἔργα τῶν
χειρῶν μου εἰς ὕψωμα Ἰερουσαλημ, 5 ὅτι νῦν καιρὸς ἀντιλαβέσθαι τῆς κληρονομίας σου καὶ ποιῆσαι
τὸ ἐπιτήδευμά μου εἰς θραῦσμα ἐχθρῶν, οἳ ἐπανέστησαν ἡμῖν.“
6 Καὶ προσελθοῦσα τῷ κανόνι τῆς κλίνης, ὃς ἦν πρὸς κεφαλῆς Ὀλοφέρνου, καθεῖλεν τὸν ἀκινάκην
αὐτοῦ ἀπ’ αὐτοῦ. 7 Καὶ ἐγγίσασα τῆς κλίνης ἐδράξατο τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ καὶ εἶπεν·
„Κραταίωσόν με, κύριε ὁ θεὸς Ἰσραήλ, ἐν τῇ ἡμέρᾳ ταύτῃ.“
8 Καὶ ἐπάταξεν εἰς τὸν τράχηλον αὐτοῦ δὶς ἐν τῇ ἰσχύι αὐτῆς καὶ ἀφεῖλεν τὴν κεφαλὴν αὐτοῦ ἀπ’
αὐτοῦ. 9 Καὶ ἀπεκύλισε τὸ σῶμα αὐτοῦ ἀπὸ τῆς στρωμνῆς καὶ ἀφεῖλε τὸ κωνώπιον ἀπὸ τῶν στύλων
καὶ μετ’ ὀλίγον ἐξῆλθεν καὶ παρέδωκεν τῇ ἅβρᾳ αὐτῆς τὴν κεφαλὴν Ὀλοφέρνου. 10 Καὶ ἐνέβαλεν
αὐτὴν εἰς τὴν πήραν τῶν βρωμάτων αὐτῆς, καὶ ἐξῆλθον αἱ δύο ἅμα κατὰ τὸν ἐθισμὸν αὐτῶν ἐπὶ τὴν
προσευχήν· καὶ διελθοῦσαι τὴν παρεμβολὴν ἐκύκλωσαν τὴν φάραγγα ἐκείνην καὶ προσανέβησαν τὸ
ὄρος Βαιτύλουα καὶ ἦλθοσαν πρὸς τὰς πύλας αὐτῆς.
11 Καὶ εἶπεν Ἰουδὶθ μακρόθεν τοῖς φυλάσσουσιν ἐπὶ τῶν πυλῶν· „Ἀνοίξατε, ἀνοίξατε δὴ τὴν πύλην,
μεθ’ ἡμῶν ὁ θεὸς, ὁ θεὸς ἡμῶν ποιῆσαι ἔτι ἰσχὺν ἐν Ἰσραὴλ καὶ κράτος κατὰ τῶν ἐχθρῶν, καθὰ καὶ
σήμερον ἐποίησεν.“
12 Καὶ ἐγένετο, ὡς ἤκουσαν οἱ ἄνδρες τῆς πόλεως αὐτῆς τὴν φωνὴν αὐτῆς, ἐσπούδασαν τοῦ
καταβῆναι ἐπὶ τὴν πύλην τῆς πόλεως αὐτῶν καὶ συνεκάλεσαν τοὺς πρεσβυτέρους τῆς πόλεως. 13 Καὶ
συνέδραμον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν, ὅτι παράδοξον ἦν αὐτοῖς τὸ ἐλθεῖν αὐτήν, καὶ
ἤνοιξαν τὴν πύλην καὶ ὑπεδέξαντο αὐτὰς καὶ ἅψαντες πῦρ εἰς φαῦσιν περιεκύκλωσαν αὐτάς.
14 Ἡ δὲ εἶπεν πρὸς αὐτοὺς φωνῇ μεγάλῃ· „Αἰνεῖτε τὸν θεόν, αἰνεῖτε, αἰνεῖτε τὸν θεόν, ὃς οὐκ
ἀπέστησεν τὸ ἔλεος αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰσραήλ, ἀλλ’ ἔθραυσε τοὺς ἐχθροὺς ἡμῶν διὰ χειρός μου
ἐν τῇ νυκτὶ ταύτῃ.“ 15 Καὶ προελοῦσα τὴν κεφαλὴν ἐκ τῆς πήρας ἔδειξεν καὶ εἶπεν αὐτοῖς· „Ἰδοὺ ἡ
κεφαλὴ Ὀλοφέρνου, ἀρχιστρατήγου δυνάμεως Ἀσσοὺρ καὶ ἰδοὺ τὸ κωνώπιον, ἐν ᾧ κατέκειτο ἐν ταῖς
μέθαις αὐτοῦ καὶ ἐπάταξεν αὐτὸν ὁ κύριος ἐν χειρὶ θηλείας. 16 Καὶ ζῇ κύριος, ὃς διεφύλαξέν με ἐν τῇ
ὁδῷ μου, ᾗ ἐπορεύθην, ὅτι ἠπάτησεν αὐτὸν τὸ πρόσωπόν μου εἰς ἀπώλειαν αὐτοῦ καὶ οὐκ ἐποίησεν
ἁμάρτημα μετ’ ἐμοῦ εἰς μίασμα καὶ αἰσχύνην.“

# Prüfungstexte zum Griechisch-Intensivkurs (SS 2015)

## *B) NT-Griechisch III*

### ***3.Teil – Außerkanonische Literatur***

### (1) Aus den Paulus- und Thekla-Akten

#### I. Paulus in Ikonium

I.1. Die „Seligpreisungen“

5. Καὶ εἰσελθόντος Παύλου εἰς τὸν τοῦ Ὀνησιφόρου οἶκον ἐγένετο χαρὰ μεγάλη, καὶ κλίσις[1] γονάτων καὶ κλάσις[2] ἄρτου καὶ λόγος θεοῦ περὶ ἐγκρατείας[3] καὶ ἀναστάσεως, λέγοντος τοῦ Παύλου·

*Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ,*
*ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται.*
*Μακάριοι οἱ ἁγνὴν*[4] *τὴν σάρκα τηρήσαντες,*[5]
*ὅτι αὐτοὶ ναὸς θεοῦ γενήσονται.*
*Μακάριοι οἱ ἐγκρατεῖς,*[6]
*ὅτι αὐτοῖς λαλήσει ὁ θεός.*
*Μακάριοι οἱ ἀποταξάμενοι*[7] *τῷ κόσμῳ τούτῳ,*
*ὅτι αὐτοὶ εὐαρεστήσουσιν*[8] *τῷ θεῷ.*
*Μακάριοι οἱ ἔχοντες γυναῖκας ὡς*[9] *μὴ ἔχοντες,*
*ὅτι αὐτοὶ κληρονομήσουσιν*[10] *τὸν θεόν.*
*Μακάριοι οἱ φόβον ἔχοντες θεοῦ,*
*ὅτι αὐτοὶ ἄγγελοι θεοῦ γενήσονται.*
6. *Μακάριοι οἱ τρέμοντες τὰ λόγια τοῦ θεοῦ,*
*ὅτι αὐτοὶ παρακληθήσονται.*[11]
*Μακάριοι οἱ σοφίαν λαβόντες Ἰησοῦ Χριστοῦ,*
*ὅτι αὐτοὶ υἱοὶ ὑψίστου κληθήσονται.*
*Μακάριοι οἱ τὸ βάπτισμα τηρήσαντες,*
*ὅτι αὐτοὶ ἀναπαύσονται*[12] *πρὸς τὸν πατέρα καὶ τὸν υἱόν.*
*Μακάριοι οἱ σύνεσιν*[13] *Ἰησοῦ Χριστοῦ χωρήσαντες,*[14]
*ὅτι αὐτοὶ ἐν φωτὶ γενήσονται.*
*Μακάριοι οἱ δι᾽ ἀγάπην θεοῦ ἐξελθόντες τοῦ σχήματος*[15] *τοῦ κοσμικοῦ,*
*ὅτι αὐτοὶ ἀγγέλους κρινοῦσιν καὶ ἐν δεξιᾷ τοῦ πατρὸς εὐλογηθήσονται.*[16]
*Μακάριοι οἱ ἐλεήμονες,*[17]
*ὅτι αὐτοὶ ἐλεηθήσονται καὶ οὐκ ὄψονται ἡμέραν κρίσεως πικράν.*[18]
*Μακάρια τὰ σώματα τῶν παρθένων,*
*ὅτι αὐτὰ εὐαρεστήσουσιν τῷ θεῷ καὶ οὐκ ἀπολέσουσιν τὸν μισθὸν τῆς ἁγνείας*[19] *αὐτῶν·*
*ὅτι ὁ λόγος τοῦ πατρὸς ἔργον αὐτοῖς γενήσεται σωτηρίας εἰς ἡμέραν τοῦ υἱοῦ αὐτοῦ, καὶ ἀνάπαυσιν*[20] *ἕξουσιν εἰς αἰῶνα αἰῶνος.*[21]

[1] κλίσις γονάτων das Beugen der Knie
[2] ἡ κλάσις das Brechen
[3] ἡ ἐνκράτεια Enthaltsamkeit
[4] ἁγνός 3 rein, keusch
[5] τηρέω bewahren
[6] ἐγκρατής 2 *Adj. zu ἐγκράτεια*
[7] ἀποτάσσω *(med.)* entsagen, verzichten auf
[8] εὐαρεστέω Wohlgefallen finden bei
[9] ὡς als ob *(hypothetisches P.C.)*
[10] κληρονομέω beerben, als Erbe empfangen
[11] παρακαλέω trösten
[12] ἀναπαύομαι ausruhen
[13] ἡ σύνεσις Verständnis, Weisheit
[14] χωρέω fassen, in sich aufnehmen
[15] τὸ σχῆμα Ausehen, Gestalt
[16] εὐλογέω segnen
[17] ἐλεήμων 2 barmherzig
[18] πικρός 3 bitter
[19] ἡ ἅγνεια *Subst. zu ἁγνός 3*
[20] ἡ ἀνάπαυσις *Subst. zu ἀναπαύομαι*
[21] εἰς αἰῶνα αἰῶνος = *in saecula saeculorum*

## (2) Aus der Didache

**Διδαχὴ κυρίου διὰ τῶν ἀποστόλων τοῖς ἔθνεσιν.**

**I**

1. Ὁδοὶ δύο εἰσί, μία τῆς ζωῆς καὶ μία τοῦ θανάτου, διαφορὰ δὲ πολλὴ μεταξὺ τῶν ὁδῶν.

2. Ἡ μὲν οὖν ὁδὸς τῆς ζωῆς ἐστιν αὕτη· πρῶτον ἀγαπήσεις τὸν θεὸν τὸν ποιήσαντά σε, δεύτερον τὸν πλησίον σου ὡς σεαυτόν· πάντα δὲ, ὅσα ἐὰν θελήσῃς μὴ γίνεσθαί σοι, καὶ σὺ ἄλλῳ μὴ ποίει.

3. Τούτων δὲ τῶν λόγων ἡ διδαχή ἐστιν αὕτη· Εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν, νηστεύετε δὲ ὑπὲρ τῶν διωκόντων ὑμᾶς· ποία γὰρ χάρις, ἐὰν φιλῆτε τοὺς φιλοῦντας ὑμᾶς; Οὐχὶ καὶ τὰ ἔθνη τοῦτο ποιοῦσιν; Ὑμεῖς δὲ φιλεῖτε τοὺς μισοῦντας ὑμᾶς καὶ οὐχ ἕξετε ἐχθρόν. 4. Ἀπέχου τῶν σαρκικῶν ἐπιθυμιῶν. Ἐάν τις σοι δῷ ῥάπισμα εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, καὶ ἔσῃ τέλειος· ἐὰν ἀγγαρεύσῃ σέ τις μίλιον ἕν, ὕπαγε μετ᾽ αὐτοῦ δύο· ἐὰν ἄρῃ τις τὸ ἱμάτιόν σου, δὸς αὐτῷ καὶ τὸν χιτῶνα· ἐὰν λάβῃ τις ἀπὸ σοῦ τὸ σόν, μὴ ἀπαίτει· οὐδὲ γὰρ δύνασαι. 5. Παντὶ τῷ αἰτοῦντί σε δίδου καὶ μὴ ἀπαίτει· πᾶσι γὰρ θέλει δίδοσθαι ὁ πατὴρ ἐκ τῶν ἰδίων χαρισμάτων. Μακάριος ὁ διδοὺς κατὰ τὴν ἐντολήν· ἀθῷος γάρ ἐστιν. Οὐαὶ τῷ λαμβάνοντι· εἰ μὲν γὰρ χρείαν ἔχων λαμβάνει τις, ἀθῷος ἔσται· ὁ δὲ μὴ χρείαν ἔχων δώσει δίκην, ἵνα τί ἔλαβε καὶ εἰς τί· ἐν συνοχῇ δὲ γενόμενος ἐξετασθήσεται, περὶ ὧν ἔπραξε καὶ οὐκ ἐξελεύσεται ἐκεῖθεν, μέχρις οὗ ἀποδῷ τὸν ἔσχατον κοδράντην. 6. Ἀλλὰ καὶ περὶ τούτου δὲ εἴρηται· „Ἱδρωσάτω ἡ ἐλεημοσύνη σου εἰς τὰς χεῖράς σου, μέχρις ἂν γνῷς, τίνι δῷς.“

**VII**

1. Περὶ δὲ τοῦ βαπτίσματος· οὕτω βαπτίσατε· εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐν ὕδατι ζῶντι. 2. Ἐὰν δὲ μὴ ἔχῃς ὕδωρ ζῶν, εἰς ἄλλο ὕδωρ βάπτισον· εἰ δ᾽ οὐ δύνασαι ἐν ψυχρῷ, ἐν θερμῷ. 3. Ἐὰν δὲ ἀμφότερα μὴ ἔχῃς, ἔκχεον εἰς τὴν κεφαλὴν τρὶς ὕδωρ εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καῖ ἁγίου πνεύματος. 4. Πρὸ δὲ τοῦ βαπτίσματος προνηστευσάτω ὁ βαπτίζων καὶ ὁ βαπτιζόμενος, καὶ εἴ τινες ἄλλοι δύνανται· κελεύεις δὲ νηστεῦσαι τὸν βαπτιζόμενον πρὸ μιᾶς ἢ δύο.

**VIII**

1. Αἱ δὲ νηστεῖαι ὑμῶν μὴ ἔστωσαν μετὰ τῶν ὑποκριτῶν· νηστεύουσι γὰρ δευτέρᾳ σαββάτων καὶ πέμπῃ· ὑμεῖς δὲ νηστεύσατε τετράδα καὶ παρασκευήν. 2. Μηδὲ προσεύχεσθε ὡς οἱ ὑποκριταί, ἀλλ᾽ ὡς ἐκέλευσεν ὁ κύριος ἐν τῷ εὐαγγελίῳ αὐτοῦ, οὕτως προσεύχεσθε· Πάτερ ἡμῶν ὁ ἐν τῷ οὐρανῷ, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὴν ὀφειλὴν ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. 3. Τρὶς τῆς ἡμέρας οὕτω προσεύχεσθε.

**IX**

1. Περὶ δὲ τῆς εὐχαριστίας· οὕτως εὐχαριστήσατε· 2. πρῶτον περὶ τοῦ ποτηρίου· „Εὐχαριστοῦμέν σοι, πάτερ ἡμῶν, ὑπὲρ τῆς ἁγίας ἀμπέλου Δαυὶδ τοῦ παιδός σου, ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου· σοὶ ἡ δόξα εἰς τοὺς αἰῶνας.“ 3. Περὶ δὲ τοῦ κλάσματος· „Εὐχαριστοῦμέν σοι, πάτερ ἡμῶν, ὑπὲρ τῆς ζωῆς καὶ γνώσεως, ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου· σοὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. 4. Ὥσπερ ἦν τοῦτο τὸ κλάσμα διεσκορπισμένον ἐπάνω τῶν ὀρέων καὶ συναχθὲν ἐγένετο ἕν, οὕτω συναχθήτω σου ἡ ἐκκλησία ἀπὸ τῶν περάτων τῆς γῆς εἰς τὴν σὴν βασιλείαν· ὅτι σοῦ ἐστιν ἡ δόξα καὶ ἡ

δύναμις εἰς τοὺς αἰῶνας.“ 5. Μηδεὶς δὲ φαγέτω μηδὲ πιέτω ἀπὸ τῆς εὐχαριστίας ὑμῶν, ἀλλ᾿ οἱ βαπτισθέντες εἰς ὄνομα κυρίου· καὶ γὰρ περὶ τούτου εἴρηκεν ὁ κύριος· „Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί.“

**XV**

1. Χειροτονήσατε οὖν ἑαυτοῖς ἐπισκόπους καὶ διακόνους ἀξίους τοῦ κυρίου, ἄνδρας πραεῖς καὶ ἀφιλαργύρους καὶ ἀληθεῖς καὶ δεδοκιμασμένους· ὑμῖν γὰρ λειτουργοῦσι καὶ αὐτοὶ τὴν λειτουργίαν τῶν προφητῶν καὶ διδασκάλων. 2. Μὴ οὖν ὑπερίδητε αὐτούς· αὐτοὶ γάρ εἰσιν οἱ τετιμημένοι ὑμῶν μετὰ τῶν προφητῶν καὶ διδασκάλων. 3. Ἐλέγχετε δὲ ἀλλήλους μὴ ἐν ὀργῇ, ἀλλ᾿ ἐν εἰρήνῃ, ὡς ἔχετε ἐν τῷ εὐαγγελίῳ· καὶ παντὶ ἀστοχοῦντι κατὰ τοῦ ἑτέρου μηδεὶς λαλείτω μηδὲ παρ᾿ ὑμῶν ἀκουέτω, ἕως οὗ μετανοήσῃ. 4. Τὰς δὲ εὐχὰς ὑμῶν καὶ τὰς ἐλεημοσύνας καὶ πάσας τὰς πράξεις οὕτως ποιήσατε, ὡς ἔχετε ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν.